πάλλεσα κραδίην μὲν ὑπέρβιον, ἐσσυμένως δὲ
αἷμα δι' αὐλώνων ἐπισεῦεσ' ἀρτηριάων
τὸ, κρατερῶς τ' ἐκύκησε, καὶ ἀθρόα πάντ' ὀρόθυνε
ῥευξαλέ' ἄσσα κέκευτ' εἰν ἔγκασιν ἠδέ τε φλεψὶ,
τόφρα κακηπελέεσιν ἀεικέλι' ἄλγε' ἐνῶρσε (ι),
ῥίγιά τ' ἐκπάγλως καὶ ἐπίσσυτα πάμπαν ἀνιγρά.
πῦρ μὲν μᾶσσον ὄρινε καὶ ἄσσην, δυσφορίην δὲ
θῆκεν ἀλυζομένοις τοῖσδ' ἄσχετα νυκτὸς ἀμολγῷ.
τοῖα δὲ μηχανάαται, ἀθέσφατον ἀχθομένη περ (κ),
ὥς κε διακρινέεσα κακήθεα, ταῦτα δέ τ' ἐκτὸς
σκήνεος ἐκκρινέεσα νοσήματος ἔκ τε σαώσῃ (λ)
τῦτο ῥε' ἀρπαλέως τε, καὶ εἶθαρ οἱ αἶσαν ἀλάλκῃ·
τως γάρ ἡ ἀργαλέας ἶα ἄλθεται ἄσπετα νέσες (μ).
ἤμασι ταῦθ' ἔρδει δ' ἐνὶ ῥητοῖς· τοῖα δ' ἔασιν
εἴνατον, ἐνδέκατόν τ', ἰδὲ τέτρατον ἐν δεκάτοισιν (ν),
ἕβδομον ἐν τοῖςδεσιν, ἐεικοςόν τ' ἐπὶ τοῖσι
νύσε ἀπ' ἀρχομένης πολυπήμονος, οἷς ἐνὶ πέσσει
χυμὲς ὠμοτέρες κακοήθεας. ἀλλὰ τότ' ἔμπης
ἠὲ κρίσηα τέλεσσε τελήεσσάν τ' ἀγαθήν τε (ξ)

νέρ-

---

(ι) Ἀφορισμ. Β. ιγ. ἐπιδημ. Α. β. Γαληυ. περὶ κρίσ. Γ. β. περὶ κρισίμ. ἡμερ. Α. α. Ἀέτ. Ἀμιδ. Ε. κγ. Παῦλ. Αἰγιν. Β. η. θ. (κ) Γαληυ. περὶ αἰτίων ξυμπτωμ. Ε. ἐπιδημ. Α. ὑπομνήμ. Γ. περὶ κρισίμ. ἡμερ. Β. (λ) Γαληυ. περὶ κρίσ. Α. (μ) ἐπιδημ. ς. ε. (ν) ἐπιδημ. Α. γ. Γαληυ. περὶ κρισίμ. ἡμερ. Α. (ξ) ἐπιδημ. Α. γ. Γαληυ. περὶ κρίσ. Γ. γ. Ἀλέξ. Τραλλ. Η. ζ.